19 Αυγούστου 2014

# Πρωινή προσευχή γέροντος Σωφρονίου Σαχάρωφ του Έσσεξ

/ Πεμπτουσία

Image not found or type unknown



Αιώνιε Κύριε, Δημιουργέ των απάντων ο καλέσας με εις την ζωήν ταύτην τη ανεξερευνήτω Σου αγαθότητι· ο δους μοι την Χάριν του Βαπτίσματος και την σφραγίδα του Αγίου Πνεύματος· ο κοσμήσας με τη επιθυμία του αναζητείν Σε, τον μόνον αληθινόν Θεόν, επάκουσον της δεήσεώς μου.

Ο Θεός μου, ουκ έχω ζωήν, φως, χαράν, σοφίαν, δύναμιν άνευ Σου.

Αλλά Συ είπας τοις μαθηταίς Σου: «Πάντα όσα εάν αιτήσητε εν τη προσευχή πιστεύοντες, λήψεσθε».

Όθεν τολμώ επικαλείσθαι Σε: Καθάρισόν με από παντός μολυσμού σαρκός και πνεύματος.

Δίδαξον με πως δει προσεύχεσθαι.

Ευλόγησον την ημέραν ταύτην ήν εχάρισάς μοι, τω αναξίω δούλω Σου.

Ικάνωσόν με τη δυνάμει της Χάριτός Σου αδιαλείπτως ομιλείν και εργάζεσθαι προς την Σην δόξαν εν πνεύματι καθαρότητος, ταπεινώσεως, υπομονής, αγάπης, ευγενείας, ειρήνης, ανδρείας και σοφίας, επιγινώσκειν αεί την απανταχού παρουσίαν Σου.

Κύριε ο Θεός, δείξόν μοι την οδόν του θελήματός Σου εν τη απείρω Σου αγαθότητι και αξίωσόν με πορεύεσθαι ενώπιόν Σου χωρίς αμαρτίας.

Καρδιογνώστα Κύριε, Συ επιγινώσκεις πάσαν μου ένδειαν, Συ γινώσκεις την τυφλότητα και την άγνοιάν μου, Συ γινώσκεις την αστάθειαν και την διαφθοράν της ψυχής μου.

Αλλ’ ουδ’ ο πόνος ουδ’ η αγωνία η εμή κεκρυμμένα Σοι τυγχάνει. Επάκουσον της δεήσεώς μου και δίδαξόν με τω Πνεύματί Σου τω Αγίω, οδόν εν ή πορεύσομαι.

Μη εγκαταλείψης με, ότι η διεφθαρμένη μου θέλησις οδηγήση με προς άλλας οδούς, αλλά βιαίως επανάγαγέ με προς Σε.

Δος μοι, τη δυνάμει της Σης αγάπης, στερεωθήναι με εις το αγαθόν.

Φύλαξον με από παντός λόγου ή έργου ψυχοφθόρου, από πάσης εσωτερικής και εξωτερικής κινήσεως μη ευαρέστου ενώπιόν Σου και επιβλαβούς δια τον αδελφόν μου.

Δίδαξόν με πώς δει και τι με δει λαλείν.

Εάν το Σον θέλημα εστι του μη αποκριθήναι με δος μοι πνεύμα ειρηναίας σιωπής, αλύπου και ακινδύνου δια τον αδελφόν μου.

Νομοθέτησόν με εν τη τρίβω των εντολών Σου και έως εσχάτης μου αναπνοής μη επιτρέψης παρεκκλίναι με από του Φωτός των προσταγμάτων Σου, έως ότου καταστώσιν ο μοναδικός νόμος πάσης υπάρξεώς μου, προσκαίρου τε και αιωνίου.

Δέομαί Σου ο Θεός ελέησόν με.

Λύτρωσαί με από της θλίψεως και αθλιότητός μου και μη αποκρύψης απ’ εμού την οδόν της σωτηρίας. Εν τη αφροσύνη μου, ο Θεός, περί πολλών και μεγάλων δέομαί

Σου, γινώσκων αεί την εμήν κακότητα, την αδυναμίαν και φαυλότητα κράζω Σοι: ελέησόν με.

Μη απορρίψης με από του Προσώπου Σου ένεκεν της αλαζονείας μου.

Δος και αύξησον εν εμοί τω αχρείω την δύναμιν του αγαπάν Σε, κατά τας εντολάς Σου, εξ όλης της καρδίας μου, εξ όλης της ψυχής μου, εξ όλης της διανοίας μου, εξ όλης της ισχύος μου, και δι’ όλου του είναι μου.

Ναι, ο Θεός, δίδαξόν με δικαίαν κρίσιν και γνώσιν τω Πνεύματί Σου τω Αγίω.

Δος μοι του γνώναι την Αλήθειάν Σου προτού με απελθείν εκ της ζωής ταύτης.

Παράτεινον τας ημέρας της ζωής μου έως ότου Σοι προσφέρω μετάνοιαν αληθινήν.

Μη αναγάγης με εν ημίσει ημερών μου μηδέ εν ώ ο εμός νους τετυφλωμένος εστί.

Και όταν ευδοκήσης ελθείν το τέλος της ζωής μου προγνώρισόν μοι τον θάνατον, ίνα η ψυχή μου ετοιμασθή προς συνάντησίν Σου.

Έσο μετ’ εμού, Κύριε, εν εκείνη τη ώρα τη φοβερά και απόδος μοι την αγαλλίασιν του Σωτηρίου Σου.

Καθάρισόν με από παντός αμαρτήματος φανερού και αποκρύφου, από πάσης ανομίας κεκρυμμένης εν εμοί και δώρησόν μοι καλήν απολογίαν ενώπιον του φοβερού βήματός Σου. Ο Θεός, κατά το μέγα έλεός Σου και την άμετρον φιλανθρωπίαν Σου, επάκουσον της δεήσεώς μου.

*Πηγή: Σύγχρονοι Γέροντες*